# ΘΕΟΛΟΓΙΑ

ΤΡΙΜΗΝΟΝ ΕΠΙΣΤΗΜΟΝΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΟΜΟΣ ΚΖ΄ ΙΟΥΛΙΟΣ—ΣΕΠΤΕΜΒΡΙΟΣ 1956 ΤΕΥΧΟΣ Γ΄

## Γ΄.
## ΙΣΤΟΡΙΚΑΙ ΕΙΔΗΣΕΙΣ ΕΚ ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΑΠΟΚΑΛΥΨΕΩΣ ΤΟΥ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΠΑΤΡΕΩΣ*

ΥΠΟ

Κ. ΔΥΟΒΟΥΝΙΩΤΟΥ (†)

ΑΚΑΔΗΜΑΪΚΟΥ - ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

,*δυἡζ*΄ «Ὧν τὸ μὲν ἀποδίδοται τῷ πυρί, ᾧ περιέπεσον πᾶσαι αἱ κωμοπόλεις καὶ κῶμαι, δὸς δ' εἰπεῖν καὶ πόλεις ἐν ὅλῃ τῇ Ῥουμελίᾳ, ὧν τὰ μὲν κατεκάη ὑπὸ τῶν Κριτζαλίδων, ταὐτὸν εἰπεῖν ὑπὸ τῶν δέκα κεράτων, ὡς καὶ νῦν τὰ περικλεῆ Ἰωάννινα, ἡ μητρόπολις πάσης τῆς Ἠπείρου, τὰ δὲ ὑπὸ τῶν Ῥώσσων τῷ παρελθόντι πολέμῳ· ἀπὸ γὰρ τῆς Σούμνης μέχρι τοῦ Ρούσκιου κῶμαι καὶ κωμοπόλεις τὸν ἀριθμὸν τριακόσιαι παραδέδονται, παραδοθέντος τῷ πυρὶ καὶ αὐτοῦ τοῦ Ρουστζουκίου καὶ τῆς Νικοπόλεως καὶ τοῦ Σιστοβίου καὶ ἄλλων».

,*δφλστ*΄ «Σταῦρός τις βυζάντιος, παρὰ τῷ τρίτῳ Μουσταφᾷ μεγίστην εὔνοιαν τῶν πολλῶν αὐτοῦ μεθοδειῶν, ἐπινοιῶν τε καὶ διαβολῶν κτησάμενος ὑπὸ τὸ ἐπάρατον μπάλτον θέμενος, ἐνέπλησε μὲν τὰ βασιλικὰ ταμεῖα χρυσοῦ, ἐκένωσε δὲ ἀπανθρώπως τοὺς τῶν ὁμογενῶν οἴκους παντὸς ἐπιτηδείου πρὸς τὸ ζῆν, καὶ στένειν αὐτοὺς ἐκ τῆς αὐτῶν ἐνδείας ἐναπέφηνε, μετὰ δὲ τὴν ἐλεεινοτάτην αὐτοῦ τῆς ζωῆς καταστροφὴν καὶ τὴν δήμευσιν τῆς πλουσιωτάτης περιουσίας αὐτοῦ, λαβόντος τὰ ἐπίχειρα τῆς αὐτοῦ πονηρίας, ἄξια τῶν ἑαυτοῦ κακουργιῶν ζηλώσαντες ἄλλοι τὴν αὐτοῦ κακόνοιαν, μὴ φοβηθέντες τὸν τοῦ παντὸς Θεόν, μηδὲ τῷ τραγικῷ θανάτῳ τὸ παράπαν σωφρονισθέντες, βουλόμενοι χάριν καταθέσθαι, καὶ πληθὺν ἀργυρίων τοῖς θηριωδέσι τυράννοις εἰσκομίσασθαι, πρὸς τὴν ἰδίαν αὐτῶν πορνείαν ἀφορῶντες καὶ ἄλλα πολλά, ἵνα μὴ λέγω πάντα, ὅσα φέρουσιν αἱ τέσσαρες ὧραι τοῦ ἐνιαυτοῦ, ἄνετα ὄντα, δεσμοῖς ἀϊδίοις τυραννικῷ θεσπίσματι τεθείκασιν, ὡς μηδένα τῶν ἀνθρώπων ἔχοντα πιπράσκειν ἀπὸ τῶν ἑαυτοῦ τι τῶν δεδομένων, ὅτι μὴ μόνοις τοὺς ἐκ τῆς τυραννίδος ταῦτα ὠνουμένοις, ὅπερ διαδέδοται κατὰ πάντα τὰ προϊόντα ἐκ γῆς καὶ θαλάττης ἐν πάσῃ τῇ τῆς πόρνης ἐπικρατείᾳ.

* Συνέχεια ἐκ τῆς σελ. 195.

,δφλζ' «Ἐν ταύτῃ δὲ τῇ Οὐγγροβλαχίᾳ καὶ τῇ ἀδελφῇ αὐτῆς Μολδαυΐα, ἐν αἷς ὡς ἀληθῶς ἀφθονώτατα ῥέει μέλι καὶ γάλα καὶ στέαρ πυροῦ καὶ αἷμα σταφυλῆς, καθορῶμεν πραγματικῶς τοὺς ἡγεμόνας αὐτῶν τοὺς πανωλεθρίους καὶ ἀνελευθέρους ἐμπορίας ἐμμανῶς ποιουμένους, καὶ αὐτοὺς μὲν ὑπερπιαινομένους τῇ τῶν ἀδελφῶν αὐτῶν ἐνδείᾳ, τούτους δὲ λιμώττοντας καὶ ἀποθνήσκοντας τὸν μέγαν λιμὸν καὶ λοιμὸν καὶ πανώλην νόσον, πλημμύρας καὶ σεισμοὺς τοῦ Θεοῦ ἐπάγοντος ἐπὶ τῇ ἐκείνων παρανομίᾳ καὶ πλεονεκτικῇ πορνείᾳ, ὥς ποτε καὶ ἐπὶ τῇ παρανομίᾳ τοῦ προφήτου Δαβίδ· μὴ γὰρ ἀρεσκόμενος ἐπὶ τῇ πλεονεξίᾳ αὐτῶν ὁ Κύριος ὡς φιλόστοργος πατὴρ εἰς μετάνοιαν μαστιγοῖ. Ἀλλ' ὅσον ἡ αὐτοῦ ἀγαθότης αἰκίζει πρὸς ἐπιστροφήν, τοσοῦτον αὐτοὶ μαινόμενοι ἀσελγαίνουσιν, ἐπὶ τῇ τοῦ χριστωνύμου λαοῦ θλίψει ἥκιστα ἀνιώμενοι, ἀλλὰ μᾶλλον καὶ ἐφηδόμενοι, οἳ οὐ μόνον τὸν σῖτον δείκνυνται συνάγοντες, ἀλλὰ καὶ αὐτὰ φυσόλια οὐ παρῃτήσαντο ἀφαιρεῖν τῶν πτωχῶν, καὶ ταῦτα πρὸς ἐμπορίαν· οὕτω δοῦλοι ἀπληστίας ἐγένοντο».

,δφλκ' «Οὐ μόνον δὲ αὐτοὺς ἑωράκαμεν ἐμπορευομένους, ἀλλὰ καὶ αὐτὸν τὸν αὐτοκράτορα ταὐτὰ ἀπεργασάμενον ἐν τῷ ἐμφυλίῳ τῶν Γάλλων πολέμῳ, ὧν πᾶσι τοῖς τῆς Εὐρώπης βασιλεῦσι πολέμων καὶ ἄρτων σπανισαμένων ἐν πέντε συνεχέσιν ἔτεσι τοῖς ὑπὸ χεῖρα θάνατον καὶ πένθος ἐπενεγκόντα. Τοὺς γὰρ τῆς ἰδίας καρποὺς ἐπιμελῶς συναγαγών, τοῖς πολεμουμένοις καὶ φιλουμένοις ὑπ' αὐτοῦ Γάλλοις ἐπριάσατο, λαβὼν μὲν τὸ μέτρον πολὺ τῆς τιμῆς ἔλαττον, πωλήσας δ' αὐτὸ πολὺ μεῖζον, καὶ θρέψας μὲν ἐκείνους, ποιησάμενος δὲ τοὺς ἰδίους φέρειν, ἃ εἴρηκε τὸ πανάγιον Πνεῦμα ἐν τῷ η' χωρίῳ τοῦδε· ἐν μιᾷ ἡμέρᾳ ἥξειν ἐπὶ τὴν μεγάλην πόρνην πόλιν πληγάς, θάνατον καὶ πένθος, λιμόν τε καὶ πῦρ· ὃν ζηλώσαντες πάντες οἱ ὁμογενεῖς καὶ ἑτερογενεῖς ἡγεμόνες καὶ δυνατοὶ ἄρχοντες τὴν αὐτὴν συμφορὰν ἐν τῇ ἐπικρατείᾳ αὐτοῦ ἐποιήσαντο καὶ μέχρι τοῦδε οὐ παύονται ποιούμενοι ὑπερπλουτήσαντες καὶ βασιλέων τρόντι κατὰ τὸν πλοῦτον μηδὲν ἀποδέοντες· ὧν εἷς καὶ ὁ νῦν πολεμούμενος ἡγεμὼν τῶν Ἰωαννίνων, ἀποστάτης γενόμενος καὶ φανερὸς πολέμιος Ἀλῆ πασᾶς προσαγορευόμενος».

,δφπ' «Εἴποι δ' ἄν τις καὶ κατὰ γράμμα τὴν γῆν φθαρῆναι ὑπὸ τῆς πόρνης, τὰς κώμας δηλονότι, τὰς κωμοπόλεις, τὰς πόλεις, τὰς ἐπαρχίας καὶ τὰ ἱερὰ αὐτῶν, ἃ ἐν τοῖς ἀλήκτοις πολέμοις τῷ πυρὶ παρέδωκεν, ὡς πέπονθεν ἡ ἐμὴ φιλτάτη πατρὶς Πελοπόννησος τῷ ,αψο' θεοσώστῳ ἔτει, ἥτις ἀπὸ ἄκρων ἕως ἄκρων ἑαυτῆς τῷ ἀλβανιτικῷ πυρὶ προσομιλήσασα πᾶσα, ἐκτὸς μερῶν τινων τῆς ἐπαρχίας τῶν Καλαβρυτινῶν καὶ τῆς Καρυστίας, ἐλεεινὸν θέαμα τοῖς πᾶσι προὔκειτο, δακρύων ἀνάμεστον».

,δψκα' «Οἱ ἐγερθέντες ἐκ τοῦ πτώματος πρὸ εἴκοσιν ἐτῶν Σέρβοι, δηλονότι ἐν τῷ θεοσώστῳ ,αω' ἔτει, οἵτινες κατασφάξαντες πολλὰς μυριάδας ἐχθρῶν ἐγένοντο περιώνυμοι, εἶτα σκανδαλισθέντων ἐν ἀσυμφωνίᾳ καὶ φυ-

γόντων πάντων τῶν μειζόνων καὶ τῶν κρειττόνων κατὰ πάντα καὶ γνώσει καὶ δυνάμει καὶ ἐμπειρίᾳ πολεμικῇ εἰς τὴν Βασσαραβίαν, λαβόντες θάρσος οἱ ἐχθροί, πολεμήσαντες τοῖς λειπομένοις πολλῷ πλείους ὀλίγοις πόνῳ πολλῷ καὶ αἵματι περιεγένοντο μέν, οὐ δὲ καὶ κατὰ κράτος. Ταῦτα ἄρα συνθήκας ποιησάμενοι τοῦτο μέν τὸ μὴ πατῆσαι 'Οθωμανὸν τὸ ἔδαφος τῆς Σερβίας, τοῦτο δὲ τὸ διδόναι ἕκαστον τῶν προσώπων τῇ βασιλείᾳ κατ' ἔτος τέσσαρα ἀργυρᾶ γρόσια, ἐκράτησαν τὴν ἑαυτῶν αὐτονομίαν καὶ μέχρι τοῦδε κατέχουσι».

,δψξα' «Ἔσονται τῆς αὐτῆς μερίδος καὶ πάντες οἱ ἐν ταῖς νήσοις τοῦ Αἰγαίου πελάγους τὴν οἴκησιν ἔχοντες καὶ ναῦς πρὸς ναυμαχίαν καὶ πλοῖα πολεμικὰ καὶ ὑπουργικὰ πρὸς πᾶσαν χρείαν καὶ ἀνάγκην κτησάμενοι καὶ ἐξαρτύσαντες, ὄντες ἀξιόμαχοι κατὰ τὴν ναυμαχίαν ὑπὲρ τοὺς νῦν περιᾳδομένους Βρεττανούς».

,δωκστ' «Ὥσπερ δὲ ὁ Κύριος γράφει ἐπὶ τὸ μέτωπον τοῦ νικῶντος τὸ ὄνομα τοῦ Θεοῦ Πατρὸς καὶ τὸ τῆς καινῆς Ἱερουσαλὴμ καὶ τὸ ἑαυτοῦ καινὸν ὄνομα, οὕτω καὶ ὁ Πάπας καὶ οἱ περὶ αὐτὸν βασιλεῖς γράφουσιν ἐπὶ τῶν μετώπων τῶν στρατιωτῶν τὸ ἴδιον ὄνομα καὶ ἄλλα. Οὕτως ἐγράφησαν αἱ διαδοθεῖσαι ἐν πάσῃ τῇ οἰκουμένῃ πρὸ τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ δεκάτου τρίτου θεοσώστου ἔτους τῶν παπιστῶν Γάλλων κοκάρδαι».

,δωλθ' «Καὶ οἷον Μποναπάρτην οὐκ ἠδυνήθη πᾶσα ἡ Γερμανία καὶ σχεδὸν πᾶσα ἡ Εὐρώπη κατατροπῶσαι, τὴν οἰκουμένην ὑπερταράξαντα καὶ τὴν Ῥωσσίαν ἀπειλήσαντα ὑποδουλώσειν, τοῦτον αὐτὸν ἐν τρισὶ μησί, Νοεμβρίῳ, Δεκεμβρίῳ καὶ Ἰανουαρίῳ, μετὰ ἑνὸς μιλλιούνιον στρατεύματος ἀφανῆ ἐποίησε τῷ ,αωιβ' θεοσώστῳ ἔτει».

,δων' «Οὐ μέντοι πάντες ἔμειναν ἐν τῇ πίστει τοῦ Χριστοῦ, ἀλλὰ προϊούσης τῆς ὀθωμανικῆς καταδυναστείας πολλοὶ ἐκ τῆς Μακεδονίας, οὐκ ὀλίγοι ἐκ τῆς Θετταλίας, οὐκ εὐάριθμοι ἐκ τῆς Ἠπείρου, ἀποστάντες τοῦ Χριστοῦ, ἐνηγκαλίσαντο τὸν Μωάμεθ».

,εδ' «Προστάται δὲ τῶν ἀδελφῶν αὐτῶν, οἵτινες οὐχ ὑφ' ἑαυτῶν κατέστησαν προστατεύειν, ἀλλ' ὑπὸ τοῦ λαοῦ κοινῇ καὶ ὑπ' αὐτῶν πολλάκις τῶν τυραννούντων καὶ οὐ δι' ἀργυρίων καὶ ἀτίμων μέσων, ἀλλὰ διὰ σεμνῶν λόγων καὶ γενναίων ἔργων, οἱ πάσης εὐσεβείας, δικαιοσύνης, μειονεξίας καὶ εἰλικρινείας ἀντεχόμενοι πολλάκις ὑπὲρ τῶν ἀδελφῶν τὰ ἑαυτῶν κτήματα ἐδαπάνησαν, οὐ μὴν ἀλλὰ καὶ τοῦ ἰδίου αἵματος οὐκ ἐφείσαντο· ὧν εἷς καὶ ὁ τρισόλβιος Κωνσταντῖνος Ζαΐμης, ἀδίκως ἀποκτανθεὶς διαβολαῖς τοῦ ἀντιζήλου αὐτῷ καλουμένου Τουρκοδήμου».

,εε' «Δείκνυται ὅτι ἐλθόντες οἱ βδελυροὶ Ἀγαρηνοὶ Ἀλβανῖται τῷ ,αψξθ' εἰς τὴν ἐμὴν ἐνεγκαμένην Πελοπόννησον οὕτως ἐγύμνωσαν ἐν δέκα τελείοις ἐνιαυτοῖς τοὺς ὑπὸ χεῖρα πιστούς, ὥστε οὐκ εἴασαν αὐτοῖς οὔτε στρωμνήν, οὔτε προσκεφάλαιον πρὸς ἀνάπαυσιν τοῦ κεκοπιακότος αὐτῶν

σώματος, οὔθ' ἱμάτιον δεύτερον, μόνον τὴν ψυχὴν αὐτῶν μὴ δυνηθέντες λαβεῖν. Ἀλλὰ κἂν ἐν ταύτῃ τῇ ἐπαρχίᾳ τῆς Οὐγγροβλαχίας, ἥτις ὡς ἀληθῶς ῥέει, ὡς μέγας ποταμός, τὸ μέλι καὶ τὸ γάλα, οὕτως οἱ κρατοῦντες ἐτυράννησαν τῶν ὁμογενῶν πιστῶν, ὥστε καὶ τὸν σίελον ἐκ τοῦ στόματος ἀφείλοντο. Μάρτυρα εἰς τοῦτο προβάλλω τὸν Κύριον τῆς δόξης Ἰησοῦν Χριστόν, ὅτι κατ' ἀνάγκην πνευματικὴν θελήσας πορευθῆναι Βουκουρεστίηθεν εἰς Μαρτζινέτι καὶ ἑσπέρας γενομένης κατέλυσα ἔν τινι οἰνοπωλείῳ, ἐν ᾧ εἶδον τοὺς οἰκοῦντας κατὰ γῆς ἄνευ προσκεφαλαίου κατακλιθέντας πρὸς ὕπνον, μήτε ψιάθιον κτησαμένους ἐκ τῆς ἀρρήτου ἀργυρολογίας τῶν κρατούντων».

,ελ' «Οὐ γὰρ μόνον ὑπὸ τῶν Μωαμεθιστῶν καὶ ὑπὸ τῶν Παπιστῶν καὶ τῶν Λουθηροκαλβίνων ὡς οἷόν τι κτῆμα ἀναφαίρετον καθορῶνται φόρον ταῖς τέσσαρσιν ὥραις τοῦ ἐνιαυτοῦ χόρτον, ἄνθος, καρπόν, ὀπώραν, κτῆνος καὶ πάντα τὰ αὐτοῖς παρεπόμενα τοῖς κρατοῦσι τυραννικῶς, ἀλλὰ δὴ καὶ ὑπ' αὐτῶν τῶν ὁμοπίστων καὶ ἀδελφῶν αὐτῶν Ῥώσσων οὐχ ἧττον ἐκείνων νομίζονται ὡς ἕτοιμον θήραμα πρὸς δουλείαν καὶ φόρον καὶ τέλος ἤπερ πρὸς ἐλευθερίαν καὶ αὐτόνομον βασιλείαν ἀπειρημένοι ὄντες καὶ τὰς τῆς ἑαυτῶν ἐλευθερίας ἐλπίδας· ἀπολωλεκυίας ἔχοντες, ὥστε μήτ' ὄναρ ἐστὶν αὐτοῖς δι' ἀνδρείας τῆς πικρᾶς δουλείας ἀπαλλαγῆναι, μήτοι γε λόγον κατ' αὐτῆς φάναι, ὀλίγιστοι ὑπάρχοντες καὶ ἀργύριον καὶ ὅπλον μὴ ἔχοντες καὶ ἡγουμένου αὐτοῖς, σοφοῦ, δικαίου, πλουσίου καὶ ὁμογενοῦς ἀποροῦντες καὶ μικροῦ ὀχυρώματος στερούμενοι».

,εοστ' «Ἧς καὶ τὰ προοίμια λαμπρῶς ἑωράκαμεν κατὰ τὸ εὐσεβὲς γένος τῶν Σέρβων ἐν τῷ χιλιοστῷ μὲν καὶ ὀκτακοσιοστῷ θεοσώστῳ ἔτει, ἐν τῷ τριακοστῷ δὲ καὶ πεντηκοστῷ τῆς τῶν Ὀθωμανῶν κραταιοτάτης αὐτοκρατορίας, οἵτινες τῇ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ ἀντιλήψει γενόμενοι εὐσεβεῖς ἄνδρες τῆς δουλείας ἀπηλλάγησαν. Οὗτοι γὰρ οἱ μακάριοι καὶ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, ἀποτινάξαντες τὸν πικρὸν καὶ βαρὺν ζυγὸν ἓξ ἐνιαυτοὺς πρὸ τοῦ ἐλθεῖν τὴν Ῥωσσικὴν δύναμιν ἐν ταύτῃ τῇ ἐπαρχίᾳ τῆς Οὐγγροβλαχίας, ὑπὸ πάντων τῶν θηριωδεστάτων καταπολεμηθέντες, ὀλίγοι πρὸς μυριάδας, ἄοπλοι πρὸς ἐνόπλους, πεζοὶ πρὸς ἱππέας, ἀπεγνωσμένοι ὑπὸ πάντων πρὸς πεφυσιωμένους τῷ κράτει τῆς βασιλείας, τῷ πλήθει τῶν σωμάτων καὶ τῷ θησαυρῷ τῶν ἀργυρίων, γυμνοὶ πρὸς λαμπρὰ ἐνδεδυμένους, λιμώττοντες καὶ ξηροὶ πρὸς κεκορεσμένους καὶ εὐτραφεῖς, ἀεὶ νικηταὶ καὶ τροπαιοφόροι τῇ δεξιᾷ τοῦ παντοκράτορος ἀρνίου ἐναπεφάνθησαν καί, εἰ μὴ ἐκεκώλυντο ὑπὸ τῶν Ῥώσσων, καὶ τῆς Ἀδριανουπόλεως κύριοι ἂν ἐγένοντο».

,εϡγ' «Πόλις καταχρηστικῶς μὲν ἡ μὴ περίβολον ἔχουσα, ὡς τὸ Βουκουρέστιον ἐν ταύτῃ τῇ Οὐγγροβλαχίᾳ καὶ τὸ Γιάσιον ἐν τῇ Μολδαυΐα, κυρίως δὲ ἡ ἔχουσα, ὡς ἡ Κωνσταντινούπολις ἐν τῇ Θρᾴκῃ καὶ τὸ Ναύπλιον ἐν τῇ Πελοποννήσῳ».

,ετιδ' «Ὦ Πάτερ πανάγαθε, ὦ πανάγιε βασιλεῦ, ὦ παντρκράτωρ δέσποτα, ἀξίωσον τῆς πόλεως ταύτης καὶ τοὺς ἐμοὺς γονέας Δημήτριον καὶ Τρισευγένην, κἀμὲ τὸν πολυαμάρτητον μέχρι ταύτης τῆς λευκοτάτης πολιᾶς καὶ πάντας, οἳ ἐπικαλοῦνται κατὰ τὴν σὴν Ἀνατολικὴν Ἐκκλησίαν τὸ πανάγιον ὄνομα τοῦ Χριστοῦ καὶ τοῦ παναγίου Πνεύματος».

,ετκε' «Οὕτως ἐν τῷ ,αωιγ' θεοσώστῳ ἔτει τοῦ ἀθεωτάτου καὶ ἀλαζονικωτάτου Μποναπάρτου τὴν θηριωδεστάτην καὶ ἀσεβεστάτην ἐν ἑκατὸν μυριάσι στρατίαν διὰ τοῦ κρύους καὶ παγετοῦ ἐν τοῖς εὐρυχωροτάτοις τῆς Λεχίας πεδίοις ἐν δυσὶ μησὶ τοῦ χειμῶνος κατέστρωσαν».

,ευσ' «Καθαρὸν ποταμὸν φάμενος ἐξαίρει τοῦ ποταμοῦ πᾶσαν ἀκαθαρσίαν καὶ βορβορότητα· πολλοὶ γὰρ ῥέοντες διὰ μεγάλων πόλεων πάσης ἀκαθαρσίας καὶ ἀνθρωπίνης κοπρίας καὶ παντὸς ἀλόγου ζώου καὶ ἄλλων βδελυροτάτων γέμουσιν, ὡς ὁ τῆς Τυμποβίτζης διὰ μέσου τοῦ Βουκουρεστίου ῥέων».

,εψβ' «Οὗτοί εἰσιν οἱ τὴν χριστιανικωτάτην ταύτην ἐπαρχίαν τῆς Δακίας καὶ μάλιστα ταύτην τὴν πόλιν Βουκουρέστιον ἀθείας πληρώσαντες καὶ κακοηθείας· οὐ μόνον γὰρ τὴν νηστείαν ἐν ταῖς τεσσαρακοσταῖς καὶ μάλιστα τὴν μεγάλην καὶ τὴν τῆς Τετάρτης καὶ Ἕκτης παντὸς ἐνιαυτοῦ ἦραν, ἀλλὰ καὶ τὴν σωφροσύνην καὶ τὴν παρθενίαν· ἐὰν γάρ τις ἔτυχε σφριγῶν καὶ ἀκμαῖος οὐ λέγουσιν αὐτῷ συναφθῆναι διὰ νόμου, ἀλλὰ συγγίνεσθαι γυναιξὶ θελούσαις· τὸ γὰρ θέλεις θέλω φυσικόν φασι καὶ ἁμάρτημα οὐδέν. Εἴπερ δὲ καὶ ὁ ἀνὴρ ζῇ καὶ θέλει ἡ γυνὴ αὐτοῦ μοιχευθῆναι, οὐδὲν ἄνομον· φυσικὸν γὰρ καὶ μάλιστά φασιν ἀρετή, ὅτι ἀγάπη ἐστίν. Εἴπερ δὲ πάλιν τις ἀσθενήσει τὸν στόμαχον, οὐ λέγουσι νηστεῦσαι, εἰ τύχοι οὖσα ἡ μεγάλη Παρασκευή, ἀλλὰ κελεύουσι κρεωφαγῆσαι, ἵνα μὴ ὑπὸ τῆς νηστείας αὐτόχειρ γένηται· καὶ τοῦτό ἐστιν θανάσιμον ἁμάρτημα καὶ φευκτέον τοῦτο. Καὶ οὕτω λέγοντες ἀποκατέστησαν ταύτην τὴν εὐλογημένην πόλιν οὐ μόνον Σόδομα καὶ Γόμορρα, ἀλλὰ καὶ κατ' αὐτὸ Γαλλίαν καὶ Παρίσιον κατὰ τὴν ἀθεΐαν, ἀσελγῶς ἀσελγοῦντας τοὺς πολίτας ἀποκαταστήσαντες τῆς πόλεως ταύτης, τὴν σωφροσύνην ἄραντες καὶ τὴν νηστείαν καὶ τὴν ὀρθόδοξον πίστιν, λέγοντες ἱερωσύνην μὴ εἶναι καὶ πολλὰ τὰ ἀδικήματα αὐτῶν».

,εψιγ' «Ἐξαιρετέαν ἐνταῦθα τὴν ἐν τῷ μεγάλῳ Σπηλαίῳ κατὰ τὴν Πελοπόννησον τῆς Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὑπὸ τοῦ ἁγίου καὶ εὐαγγελιστοῦ Λουκᾶ γραφεῖσαν καὶ πλασθεῖσαν κηρῷ καὶ μαστίχι ἁγίαν εἰκόνα».

,εψκα' «Ἔστι δὲ καὶ ἡ παράδοσις οὐ πρόσφατος, τοῦτο μὲν ὅτι ζώσῃ τῇ κυρίᾳ ἡμῶν Θεοτόκῳ καὶ ἀειπαρθένῳ Μαρίᾳ ὁ ἅγιος εὐαγγελιστὴς Λουκᾶς, ἄριστος ζωγράφος ὤν, γράψας ἐπὶ τριῶν σανίδων τὴν αὐτῆς ἁγίαν μορφήν, προσέφερεν ὡς πάντιμον καὶ μέγιστον δεῖγμα τῆς πρὸς αὐτὴν αὐτοῦ μεγίστης εὐλαβείας. Ἡ δὲ τὸ πραχθὲν κατιδοῦσα ἐκ Πνεύματος ἁγίου γενόμενον, οὐκ ἐπετίμησε τὸν προσενεγκόντα, ἀλλ' ἀποδεξαμένη τὸ αὐτοῦ πρὸς

ἑαυτὴν σέβας ἔφησεν, ἥ τοῦ ἐμοῦ υἱοῦ καὶ Θεοῦ χάρις ἔστω μετ' αὐτῶν· ὧν μία ἐστὶν ὁμολογουμένως ἐν τῷ κατὰ τὴν Πελοπόννησον μεγάλῳ Σπηλαίῳ, ἡ δὲ ἄλλη, ὥς φασιν, ἐν τῇ Ῥωσσίᾳ, ἡ δὲ τρίτη ἐν τῇ νήσῳ Κύπρῳ».

*͵εψξθ'* «Ἐγερθέντας οὖν τοὺς Σέρβους, ὥς εἴρηται, καὶ ἐν αὐτονομίᾳ βιοῦντας καὶ τὰ ὅπλα ἐν ταῖς χερσὶ κατέχοντας καὶ τὴν Ἄγαρ κωλύοντας μὴ πατεῖν τὸ ἑαυτῶν ἔδαφος, κατιδόντες οἱ λοιποὶ ἀδελφοὶ αὐτῶν ἐν τῇ Ἑλλάδι τὴν οἴκησιν ἔχοντες, ἀναστάντες τοῦ πολυχρονίου πτώματος, πολλὰς μυριάδας Σαρακηνῶν ἀποκτείναντες ἐπὶ γῆς καὶ θαλάττης, ἐδείχθησαν μέχρι τοῦ νῦν ἥρωες καὶ παῖδες τῶν πάλαι αὐτοῖς προπατόρων, τῇ τοῦ Χριστοῦ ὀρθοδόξῳ πίστει σεμνυνόμενοι καὶ βοηθούμενοι καὶ εἰς τὸ κρεῖττον τῆς στρατιωτικῆς δυνάμεως ὁσημέραι προαγόμενοι».

*͵εωιστ'* «Πρῶτον μὲν γὰρ ἡ Κρήτη ἐγερθεῖσα ἐντελῶς ἀπεσείσατο τὸν ζυγὸν τῆς δουλείας, ὡς στάχυας θερίσασα τὰς κεφαλὰς τῶν Ἀγαρηνῶν, εἶτα ἡ Πελοπόννησος ταὐτὰ καὶ αὐτὴ πράξασα, μετὰ ταύτην δὲ πάντα τὰ νησία τοῦ Αἰγαίου πελάγους, πρὸς δὲ τούτοις λέγεται καὶ Ἤπειρος καὶ Ἀττικὴ καὶ Θῆβαι καὶ Ἑλλὰς καὶ Θεττάλια καὶ Μακεδονία πρὸς ἀποστασίαν ὠδῖνας ἔχειν, ἐξ ὧν καὶ ἡ Κωνσταντινούπολις ἄγαν πεφόβηται, ὑποπτεύσασα τὸν ἔσχατον ὄλεθρον. Μόνα τὰ παρὰ τὴν Οὐγγροβλαχίαν καὶ τὴν Μολδαυΐαν ἔτι ἔστηκεν ἄνευ φόβου ἀμελείᾳ καὶ οἰνοποσίᾳ καὶ ἀσελγείᾳ καὶ πάσῃ ἁρπαγῇ τοῦ πρὸς ἡμᾶς ἐλθόντος ἀπὸ Ρωσσίας λόγῳ μὲν ὑπὲρ πίστεως τῆς Ἀνατολικῆς Ἐκκλησίας καὶ ὑπὲρ πατρίδος Κωνσταντίνου Ὑψηλάντου, ἔργῳ δὲ ὑπὲρ τελείας ἀθεΐας καὶ δεινοτέρας δουλείας καὶ μεγίστης αἱματοχυσίας, γενομένης ἐν ἀθώοις καὶ τιμίοις ἀνδράσι ὑπὸ τῶν τῆς Ἄγαρ δρακοντοειδῶν υἱῶν. Οὐχ οὕτω δὲ καὶ οἱ Πελοποννήσιοι σὺν τοῖς ἡρωϊκοῖς νησιώταις ἀνδράσιν ἠγέρθησαν κατὰ τῶν τυράννων, ἀλλὰ νηστείᾳ καὶ προσευχῇ ἐν πίστει τοῦ Χριστοῦ καὶ ἐν πάσῃ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ὡς ᾄδεται θερίζουσι τὰς κεφαλὰς τῶν ἐχθρῶν, ὡς στάχυας βαθέως ληΐου, καὶ μάλιστα μηδενὸς τῶν λεγομένων χριστιανῶν βασιλέων ξυμμαχήσαντος αὐτοῖς μόνοις πληρωθεῖσι θείας ἐμπνεύσεως καὶ δυνάμεως».

*͵εωμδ'* «Ἦλθον δὲ οἱ ἀποστάται Παπισταὶ κατὰ τῆς Θεσσαλονίκης α') μὲν ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου τοῦ τυράννου καὶ Ἰσαακίου τοῦ Ἀγγέλου, β') δὲ ἐπὶ Ἰωάννου τοῦ βασιλέως τοῦ ἕκτου τῶν Παλαιολόγων. Ἐπ' ἐκείνου μὲν ὅτι πασχούσης τῆς αὐτοκρατορίας τῶν πιστῶν ὑπὸ τῆς τυραννίδος τοῦ Ἀνδρονίκου, λαβόντες εὐκαιρίαν οἱ Παπισταί, πλεύσαντες μετὰ μεγάλου καὶ δυνατοῦ στόλου ἐγύμνωσαν Ἀθήνας, Θήβας, τὰς παραλίους τῆς Πελοποννήσου, τοῦ Εὐρίπου καὶ πᾶσαν νῆσον ἕως τῆς Θεσσαλονίκης, ἧς πολιορκήσαντες ἐκράτησαν μέχρι τῆς βασιλείας Μιχαὴλ τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέων. Καὶ αὕτη μέν ἐστιν ἡ πρώτη ἔλευσις τῶν ἀποστατῶν Παπιστῶν ἐπὶ τὴν Θεσσαλονίκην, οὓς ἀποδιώξας ὁ αὐτοκράτωρ Μιχαὴλ καὶ πρῶτος τῶν Παλαιολόγων παρέδωκεν αὐτὴν Ἀνδρονίκῳ τῷ

υἱῷ αὐτοῦ καὶ διαδόχῳ καὶ πᾶσαν τὴν ἐπικράτειαν τῆς ἑαυτοῦ βασιλείας· Δευτέρα δὲ ἐπὶ Ἰωάννου τοῦ βασιλέως καὶ Παλαιολόγου· οὗτος γὰρ τοῦ Μουράτου, υἱοῦ ὄντος τοῦ α΄ Μωάμεθ ἀπὸ Ὀτμάνου, λίαν εὐδοκιμοῦντος ἐν ταῖς μάχαις τῶν κατὰ τὴν Εὐρώπην πόλεων τῆς ἐπικρατείας τῶν πιστῶν, φοβηθεὶς ὁ Ἰωάννης μὴ ἄρα κυριεύσας τῆς Θεσσαλονίκης ἐγκρατὴς γένοιτο ἂν καὶ πάσης τῆς Ἑλλάδος καὶ τῆς Πελοποννήσου καὶ ἄλλων τόπων, λαβὼν χρυσὸν καὶ ἄργυρον πολὺν παρὰ τῶν Βενετίκων παρέδωκεν αὐτὴν αὐτοῖς, ὡς ἂν ἀντιμαχόμενοι οὗτοι τοῖς τοῦ Μουράτου κινήμασιν ἀπείργωσιν αὐτὸν τοῦ μὴ εἰσελθεῖν εἰς τὴν Ἑλλάδα. Οὐκοῦν κατὰ ταῦτα δευτέρα ἔλευσις τῶν ἀποστατῶν Παπιστῶν αὕτη ἐστὶ καὶ οὐκ ἔστιν ἐνδοιάζειν τὸ σύνολον».

͵εωμε΄ «Ἡ δὲ γενεαλογία τῶν Κομνηνῶν οὕτω δείκνυται. Πρῶτος οὖν αὐτῶν Ἀλέξιος, οὐ τοσοῦτον εὐδοκιμήσας ἐν πολέμοις. Μετὰ δὲ τοῦτον ὁ υἱὸς αὐτοῦ Ἰωάννης, ὃς ἐξαίρετος βασιλεὺς γεγονὼς οὐ μόνον ἐπ᾿ εὐσεβείᾳ ἦν μέγας, ἀλλὰ κἀπὶ πάσῃ πολεμικῇ ἐμπειρίᾳ καὶ τέχνῃ καὶ ἐπιστήμῃ καὶ ἄξιος συγκρίνεσθαι τοῖς μεγίστοις ἀριστεύσασι βασιλεῦσι. Γ΄ Μανουὴλ αὐτοῦ υἱός, εὐδόκιμος καὶ οὗτος, ἀλλ᾿ οὐχ ὅμοιος τῷ πατρὶ αὐτοῦ τὴν εὐτυχίαν. Δ΄ ὁ υἱὸς οὗτοῦ Ἀλέξιος ὑπὸ ἐπιτρόπους καὶ οἰκονόμους παιδίον ὤν· Ε΄ Ἀνδρόνικος ὁ τύραννος, ὁ θεῖος αὐτοῦ· ἀποκτείνας γὰρ αὐτὸν καὶ τὴν μητέρα αὐτοῦ καὶ πάντας τοὺς ἐπιτρόπους καὶ τοὺς φίλους καὶ ὑπερασπιστὰς αὐτοῦ τελευτῶν ἀπεκτάνθη καὶ αὐτός. ΣΤ΄ Ἰσαάκιος ὁ Ἀγγελοκομνηνός· ἐπὶ τούτου γὰρ πολλὰ δεινὰ πέπονθεν ἡ ἐπικράτεια τῶν πιστῶν καὶ μάλιστα ἡ Θεσσαλονίκη».

͵εωμστ΄ «Ἡ δὲ τῶν Παλαιολόγων γενεαλογία αὕτη. Α΄ ἐστὶν ὁ τοὺς Παπιστὰς δι᾿ Ἀλεξίου Στρατηγοπούλου τῆς Κωνσταντινουπόλεως ἀπελάσας Μιχαήλ. Β΄ ὁ υἱὸς αὐτοῦ Ἀνδρόνικος. Γ΄ ὁ αὐτοῦ γόνος Μιχαήλ. Δ΄ ὁ Ἀνδρόνικος ὁ νέος. Ε΄ ὁ Μανουήλ. ΣΤ΄ ὁ Ἰωάννης, καὶ ἐπὶ τούτου ἑάλω ἡ Θεσσαλονίκη ὑπὸ τοῦ σουλτάνου Μουράτη. Ζ΄ καὶ ἔσχατος ὁ Παλαιολόγος Κωνσταντῖνος, ἐφ᾿ οὗ ἑάλω ἡ πόλις».

͵εμμζ΄ «Ἡ δὲ τῶν Ὀθωμανῶν οὕτω· Α΄ ὁ Ὀτμάνης, ὃς ἐγένετο ἐπὶ τοῦ Ἀνδρονίκου τοῦ Γέροντος. Ὀτμάνης ἐγέννησε τὸν Ὀρχάνην. Ὀρχάνης ἐγέννησε τὸν Μουράτην, οὗτος κρατήσας τῆς Θεσσαλονίκης παρέδωκε τοῖς διαδόχοις αὐτοῦ, οἵτινες μέχρι τῆς σήμερον πατοῦσι τὸ ἔδαφος αὐτῆς. Μουράτης δ᾿ ἐγέννησε τὸν Μπεγιαζίτην, Μπεγιαζίτης δὲ τὸν α΄ Μωάμεθ, Μωάμεθ δὲ τὸν δεύτερον Μουράτην, οὗτος δὲ τὸν β΄ Μωάμεθ, ὃς τὸν ἔσχατον βασιλέα τῆς Κωνσταντινουπόλεως μαχαίρᾳ φονεύσας κρατεῖ διὰ τῶν διαδόχων αὐτοῦ αὐτῆς μέχρι τῆς σήμερον».

͵εωοστ΄ «Κατὰ ταῦτα τοίνυν καὶ ἄλλα πλείω τούτων ἀνοικοδομήσει αὐτὴν ὁ Χριστὸς ἐν τῇ Ἀνατολῇ καὶ τιμήσει τοὺς δύο μάρτυρας αὐτοῦ ἐν χιλιετεῖ βασιλείᾳ ἀπ᾿ ἄκρων τῆς γῆς πάσης ἕως τῶν ἐσχάτων ἄκρων αὐτῆς καὶ τῆς θαλάσσης πεσόντων τῶν θηρῶν πάμπαν, ὧν τὴν ἔναρξιν νῦν καθο-

ρῶμεν· ἅπασα γὰρ ἡ Πελοπόννησος καὶ πᾶσα νῆσος τοῦ Αἰγαίου πελάγους, ἀναστᾶσαι τοῦ πολυχρονίου πτώματος, ὡς στάχυας τοὺς ἐν αὐταῖς τυραννοῦντας Ἀγαρηνοὺς ἐθέρισαν, οὓς ζηλώσασα θείῳ ζήλῳ ἡ Ἤπειρος, ἥ τε Θεσσαλία καὶ Μακεδονία, ὡς πέποιθα ἐν Κυρίῳ, ἀπορρίψουσι τὸν τῆς δουλείας ζυγόν».

͵εωπ΄ «Οὐ μὴν ἀλλὰ καὶ τῶν διαδόχων τοῦ Μακεδόνος Ἀλεξάνδρου οἱ Πτολεμαῖοι ἐπιεικῶς τοὺς Ἰσραηλίτας ἔχοντες πᾶσαν τὴν παλαιὰν Διαθήκην ἀπὸ τῆς ἑβραΐδος εἰς τὴν Ἑλλάδα φωνήν, ἥτις ὡς καθ᾽ ἡμᾶς καθορᾶται, μετήνεγκαν».

͵εωπε΄ «Καὶ γὰρ καὶ ἄνω Ἰβηρία καὶ κάτω ἐν τῇ Ἀνατολῇ καὶ Μάνη ἐν τῇ Πελοποννήσῳ καὶ Σφακιὰ ἐν τῇ Κρήτῃ καὶ Σούλιον ἐν τῇ Ἠπείρῳ ἠλευθερίαζον καὶ νῦν ἐλευθεριάζουσι καὶ ἀλληλογραφίαν εἶχον πρὸς τὴν Ῥωσσίαν περὶ ὀρθώσεως μὲν τοῦ πεπτωκότος γένους, πτώσεως δὲ τῆς κρατούσης τυραννίδος, μέγαν τὸν ἔπαινον ἔσχον καὶ ἔχουσι».

͵εωπε΄ «Πρὸς δὲ τούτοις ὅτι καὶ πᾶς ἁπλοῦς ἄνθρωπος ἐχέφρων ὢν ὑπὸ τῆς φύσεως ἐλευθερίᾳ τιμηθεὶς σπεύδει πάσῃ ψυχῇ οὐ δουλωθῆναι, ἀλλὰ βοηθηθῆναι, προσδοκῶν οὐ δουλείαν, ἀλλὰ σωτηρίαν οὐ τὴν τυχοῦσαν λήψεσθαι ὑποκλίνει τῷ μείζονι κράτει, ὁμοπίστῳ ἀδελφῷ, ἣν δὲ φθάσει φαινακισθείς, στέργει μὲν μακροθύμως ὡς πολὺς ἐν φρονήσει, ποτνιᾶται δὲ ἀδιαλείπτως τῆς εὐγενικῆς ἑαυτοῦ αὐτονομίας, τὸν καιρὸν ἐξαγοραζόμενος, ὃν εὑρὼν ἐπιτήδειον ἀποσχίζεται τῆς ἑνότητος. Ἡ ἀπατηθεῖσα τοίνυν Ἰβηρία καὶ δουλωθεῖσα ὑπὸ τῆς ἀδελφῆς Ρωσσίας, εὑροῦσα τὸν καιρὸν σύμμαχον ἀποσχισθήσεται τῆς ἀπλήστου καὶ πλεονεκτικῆς Ρωσσίας».

͵εωϘθ΄ «Τὰ μὲν τρία κέρατα προδείκνυσι τρεῖς βασιλείας ἐκ τῶν δέκα, ἁλούσας ὑπὸ τοῦ θηρίου Ὀτμάνου. Μίαν μὲν τὴν τῶν Σέρβων καὶ Βουλγάρων, ἄλλην δὲ τὴν τῆς Κωνσταντινουπόλεως, καὶ τρίτην τὴν τῶν Ἰλλυριῶν, ὧν τῆς μὲν Γ΄ ὁλοκλήρως τυραννεῖ, τῆς δὲ Α΄ τοῦ ἡμίσεως· ἡ γὰρ Σερβία τῷ ͵αω΄ θεοσώστῳ ἔτει καὶ τῷ ἀπὸ ἁλώσεως Κωνσταντινουπόλεως τν΄ ἀναστᾶσα τοῦ πτώματος μυριάδας πολλὰς τῶν τυράννων ἐν φόνῳ μαχαίρας ἀπέκτεινε καὶ εἴπερ ἔδοξε μετὰ ἑπτὰ ἔτη τῆς ἑαυτῶν πρώτης ἀναστάσεως πεσεῖν ἐκ συνεργείας τοῦ μισοκάλου διαβόλου, σκάνδαλα ἐν αὐτοῖς διασπείραντος καὶ τῶν κρειττόνων φυγάδων γενομένων σὺν γυναιξὶ καὶ τέκνοις, ἀλλὰ καὶ οὕτως εἰς ἑαυτὴν ἐλθοῦσα ἐξ ἐκείνου μέχρι τοῦδε Ὀθωμανὸν ὡπλισμένον τὸ ἑαυτῆς ἔδαφος πατήσαντα οὐχ ἑώρακε. Καὶ οὕτω μὲν ἔχει τὰ τῆς πρώτης βασιλείας. Τῆς δὲ δευτέρας τούτῳ τῷ ͵αωκα΄ Μαρτίου κε΄ ἐγερθείσης τῆς Κρήτης καὶ τῆς Πελοποννήσου καὶ τοῦ Αἰγαίου πελάγους ὑπὲρ τῆς ἑαυτῶν ἐν Χριστῷ ἐλευθερίας ἡ τυραννὶς τῶν Ὀθωμανῶν οὐκ ἐξέλιπεν ἐξ αὐτῶν πάντῃ, ἐξαλειφθήσεται δὲ πάντως, ὅτι καὶ ἡ Θετταλία καὶ ἡ Μακεδονία νῦν λαβοῦσα τὰ ὅπλα σπεύδει ὁμοιωθῆναι ἐκείναις. Εὔελπίς εἰμι ὅτι κομίσονται τὴν αὐτονομίαν, τοῦ Χριστοῦ βοηθοῦντος αὐ-

τοῖς. Θελήσας δὲ καὶ ὁ Ἀλέξανδρος, ὁ υἱὸς τοῦ Κωνσταντίνου Ὑψηλάντου, ἡγεμόνος πάσης Οὐγγροβλαχίας, βοηθήσειν ταύτας καὶ τῇ Μολδαυΐᾳ καὶ πᾶσι τοῖς πέραν τοῦ Ἴστρου ποταμοῦ γενικώτατα πιστοῖς, ἐκβὰς τῆς Βασαραβίας καὶ εἰσελθὼν εἰς τὴν Μολδαυΐαν οὐδὲν ἀγαθὸν διήνυσεν, ἀλλὰ μᾶλλον τὰ δεινότατα ποιησάμενος ἐγένετο αἴτιος ὁ ἀσύνετος καὶ οἰνόφληξ ἀνασκολοπισθῆναι ὑπὸ τῶν τυράννων καὶ ἀπαγχονισθῆναι καὶ καρατομηθῆναι ἄγαν πολλοὺς ἀθώους καὶ ὡς εἰπεῖν ἀφανισθῆναι τὰς ἐπαρχίας ταύτας· γυμνώσας γὰρ ἐν τῇ Μολδαυΐᾳ τοὺς ἔχοντας ἀργύριον καὶ χρυσίον παρεγένετο μετ' ὀλίγων κλεπτῶν εἰς ταύτην τὴν εὐδαιμονεστάτην Οὐγγροβλαχίαν, οὖσαν μεστὴν παντοίων κοσμικῶν ἀγαθῶν. Τῶν μὲν οὖν ἀρχόντων ἐκ τοῦ φόβου τῶν Ὀθωμανῶν καὶ τὸ πλέον ἐκ τῆς ἁρπαγῆς τῶν περὶ ἐκεῖνον κλεπτῶν εἰς τὸ Βράσοβον πορευθέντων, τῶν δὲ λοιπῶν μεινάντων ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, ἐκεῖνος ἀμέσως ἔδωκεν ὁρισμὸν τοῖς περὶ αὐτὸν ὀλεθριωτάτοις κλέπταις ἀφαιρεῖν ἵππους, ἀργύρια καὶ φλωρία καὶ ὅπλα ἕνεκα τοῦ πολέμου. Ὢ τῆς μεγίστης συμφορᾶς, ὢ τῆς ἀνεκλαλήτου ἁρπαγῆς, ὢ τῆς ἀκροτάτης ἀσεβείας, ὢ τῆς ὠμοτάτης ἀπανθρωπίας. Ἀπανθρωπίας μὲν ὅτι οὐκ ἠλέησε πτωχὸν καὶ χήραν καὶ ὀρφανόν, τὸν ἵππον, τὸ πρόβατον, τὴν ἀλεκτορίδα, τὸν οἶνον καὶ τὸν βοῦν αὐτῶν ἀφελόντες· ἀσεβείας δὲ ὅτι οὐ μόνον ἄρχοντας τῆς τρίτης καὶ τετάρτης τάξεως γυμνώσαντες τὸν σίελον ἐκ τῆς γλώττης αὐτῶν ἀπεσμήξαντο, τὸ δὴ λεγόμενον, ὅσοι οὐκ ἔφθησαν φυγόντες, ἀλλὰ καὶ εἰς ἁγίας Μονὰς τὰς χεῖρας ἐκτείναντες οἱ ἀθεότατοι ἥρπασαν οὐ μόνον ἀγέλας ἵππων καὶ ποίμνας προβάτων καὶ βουκόλια βοῶν, ἀλλὰ καὶ τὸν ἱερὸν κόσμον ἅπαντα αὐτῶν· ἁρπαγῆς δὲ ὅτι πάντων τῶν ἐχόντων ὅπλα πρὸς τὴν ἰδίαν ἑαυτῶν ζωὴν μὴ θελησάντων ἀκολουθῆσαι οὐ μόνον αὐτὰ ἥρπασαν, ἀλλὰ καὶ αὐτῶν τοὺς ἐσχάτους χιτῶνας ἀφείλοντο· συμφορᾶς δὲ ὅτι ἀπὸ τῶν τριῶν καὶ εἴκοσι Φεβρουαρίου ἐλθὼν εἰς τὸ Γιάσιον, κἀκεῖθεν διαπεράσας εἰς ἡμᾶς, οὐκ ἔδωκεν ἑαυτὸν νηφαλιότητι καὶ νηστείᾳ καὶ προσευχῇ καὶ παρθενίᾳ ὡς χριστιανός, ἀλλὰ σφάζων ὁσημέραι διακοσίους καὶ τριακοσίους βόας καὶ δύο χιλιάδας πρόβατα ἐδόθη εἰς κραιπάλας καὶ μέθας, πίνων τὸν οἶνον ὡς ὁ Ὀλοφέρνης ποτὲ μετὰ μουσικῶν ὀργάνων, ἅτινα οὐκ ἀπέλιπον οὔτε ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς μεγάλης Παρασκευῆς, τῆς τραπέζης πληθούσης οὔσης ἐκ κρεάτων βοϊδίων καὶ προβατείων καὶ γλυκυσμάτων τῶν λεγομένων μπακλαβάδων καὶ μαρτζαπάδων καὶ ἄλλων εἰδῶν. Πρὸς δὲ τούτοις καὶ ἑταιριδῶν ἐπλήρωσε τὸ στρατόπεδον, δι' ὧν διεδόθη ἡ λεγομένη γαλλικὴ νόσος εἰς ἅπαν τὸ στράτευμα. Καὶ πίπτουσιν ὁσημέραι πολλοί· φιλεῖ γὰρ τὸ ὑπήκοον ἐξομοιοῦσθαι τοῖς ἄρχουσι. Τούτων οὕτω γενομένων ἐν ὅλῳ τῷ Μαρτίῳ καὶ τῷ Ἀπριλίῳ καὶ τῷ ἡμίσει τοῦ Μαΐου μηνός, διαβαίνουσι τὸν Ἴστρον ποταμὸν τάγματα στρατιωτικὰ Ἀγαρηνῶν τὸν ἀριθμὸν ὀλίγα καὶ στρατοπεδεύσαντα ἔξω τοῦ Βουκουρεστίου μέχρι τοῦδε ὡς ἑταιριστὰς ἀνεσκολόπισαν μὲν ἕως

διακοσίους τῶν πιστῶν, τῇ ἀγχόνῃ δὲ παρέδωκαν πλείους καὶ ὡς εἰπεῖν, ὥς φασιν, ἐν φόνῳ μαχαίρας ἀπέκτειναν κρύφα καὶ φανερῶς ἀριθμὸν ὑπὲρ τὰς ὀκτὼ χιλιάδας ἀνδρῶν καὶ γυναικῶν, καὶ πληρώσαντες σάκκους ὀστῶν ἀνθρωπίνων ὡς δῆθεν ἀποστατῶν ἔπεμψαν τῷ μεγίστῳ τυράννῳ τῆς Κωνσταντινουπόλεως. Καὶ τούτων πάντων αἴτιος ὁ ῥηθεὶς Ὑψηλάντης· ἐν ᾧ καὶ ἡμεῖς καθορῶμεν τὸν θάνατον τοῦ ἀνασκολοπισμοῦ ὁσημέραι, καὶ ὁ Κύριος ῥύσαιτο ἡμᾶς. Ἀνεκλάλητος τοίνυν ἡ συμφορά. καὶ οὐ μόνον εἰς ἡμᾶς ταῦτα, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν ἐπικράτειαν τοῦ θηρίου, πλὴν τῆς Πελοποννήσομ καὶ τοῦ Αἰγαίου πελάγους, οἳ ὁρῶντες τὸν ἔσχατον κίνδυνον εὐθαρσῶς ἀντιστάντες παίουσι τὸν τύραννον».

,εωϘυ' «Ἔστι δὲ τοῦτο πασίδηλον, ὅτι πρὸ τοῦ ἁλῶναι τὴν Κωνσταντινούπολιν καὶ οἱ Σέρβοι καὶ οἱ Βούλγαροι ἐμάχοντο τοῖς Κωνσταντινοπολίταις ἀσπονδότατα, ἀνθ' ὧν καὶ ὑπὸ τῶν ἰδίων ἁμαρτημάτων εἰς δουλείαν παραδέδονται».

,επμβ' «Ἑωράκαμεν γὰρ καὶ ἐναργῶς βλέπομεν τοὺς μικροὺς καὶ μεγάλους στρατηγοὺς καὶ τοὺς ὑπ' αὐτοῖς ταγματάρχας τῆς καλουμένης εὐσεβοῦς καὶ ὀρθοδόξου Ῥωσσίας αἰσχρότερον βιοῦντας τῶν ἀλόγων κτηνῶν, θηριωδέστερον ἀδικοῦντας τῶν Μωαμεθιστῶν καὶ ἀσεβέστερον πολιτευομένους τῶν ἀθέων Γάλλων καὶ ὡς εἰπεῖν ἀνόμως καὶ ἀθέως πορευομένους ἐν πάσῃ τῇ τοῦ βίου ὁδῷ, οὗ χάριν εἰκότως καὶ θηρία προσαγορεύονται».

,σμα' «Ποῖον ἔθνος τῆς λεγομένης παρ' ἡμῖν πεφωτισμένης Εὐρώπης οὐχὶ δουλεύει ταῖς αἰσχροτάταις πράξεσι καὶ οὐχὶ ὁσημέραι κατατέμνονται ὡς οἱ μύρμηκες. Οὐχὶ ἐπαιτοῦσιν ὄζοντες πολλοὶ αὐτῶν καὶ φθειριῶντες, ὡς ἑώρακα ὧν ἐν Ἑνετίαις τῷ ,αψϘστ' θεοσώστῳ ἔτει αὐτοῖς ὀφθαλμοῖς καὶ ἠλέησα τὴν αὐτῶν ἀθλιότητα».